**Ο ΘΑΥΜΑΤΟΥΡΓΟΣ ΙΕΡΟΜΑΡΤΥΣ**
**ΑΓΙΟΣ ἘΦΡΑΙΜ**



**ΑΠΟΛΥΤΙΚΙΟ**
**Ἦχος α’ *Τῆς ἐρήμου πολίτης***
Ἐν ὄρει τῶν Ἀμῶμων ὥσπερ ἥλιος ἐλάμψας καί μαρτυρικῶς, Θεοφόρε, πρός Θεόν ἐξεδήμησας, βαρβάρων ὑποστάς ἐπιδρομάς, Ἐφραίμ Μεγαλομάρτυς τοῦ Χριστοῦ , διά τοῦτο ἀναβλύζεις χάριν ἀεί, τοῖς εὐλαβῶς βοῶσι σοι, δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σέ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διά Σοῦ, πᾶσιν ἰάματα.

**ΚΟΝΤΑΚΙΟΝ**
**Ἦχος γ’ *Ἡ Παρθένος σήμερον***
Ἐν τῷ ὄρει ἤσκησας, τῶν Ἀμώμων Θεόφρον καί ἐν τούτῳ ἤνυσας, τοῦ μαρτυρίου τόν δρόμον, ὅθεν Σε, διπλοῖς στεφάνους ὁ Ζωοδότης, ἒστεψεν, Ἱερομάρτυς Ἐφραίμ ἀξίως, ἐκτενῶς ἐκδυσωποῦντα, ἐλεηθῆναι τοῦς σέ γεραίροντας.
**ΜΕΓΑΛΥΝΑΡΙΟΝ**
Βίῳ διαλάμπων ἀσκητικῷ ἐν ὄρει Ἀμώμων, ἠγωνίσω μαρτυρικῶς καί θαυμάτων χάριν, θεόθεν ἐκόμισω, Ἐφραίμ Ὁσιομάρτυς, Ἀγγέλων σύσκηνε.

**ΑΠΟΛΥΤΙΚΙΟ**
**Ἦχος β’ *Ὅτε κατῆλθες***
Ὅτε κατῆλθες πρός μαρτύριον Ἀθλητά γενναιότατε τότε πληθύς Θείων Νόων τε ἐξεπλάγη τοῖς ἄθλοις Σου, ὅτε δέ καί πυρακτωμένον δαυλόν Σύ ὑπέμεινας πᾶσαι αἱ χορεῖαι τῶν πιστῶν Ὀρθοδόξων ἐκραύγαζον, Μεγαλομάρτυς Ἐφραίμ ἐκ κινδύνων ἡμᾶς διαφύλαττε.

**ΑΠΟΛΥΤΙΚΙΟ**
**Ἦχος γ’ *Εὐφραινέσθω τά οὐράνια***
Θαυμασίων Σέ ἠξίωσε Ἰησοῦς ὁ Παντοδύναμος, διό προφθάνεις ἐν τάχει ἐν ἡμέρᾳ καί νυκτί καλού μενος, ρυόμενος τοῖς δοῦλοις σου ἐκ παντοίων κακώσεων, ἑδραίωμα εὐσεβείας μέγιστον, ὦ Μεγαλομάρτυς Ἐφραίμ Ὅρους Ἀμώμων χαρμονή τοῦτον τόν ὕμνον μου πρόσδεξαι ὡς θυμίαμα εὐάρεστον.

**ΑΠΟΛΥΤΙΚΙΟ**
**Ἦχος δ’ *Τό φαιδρόν τῆς Ἀναστάσεως***
Τό σεπτόν καί χαριτόβρητον λείψανον ὡς θησαυρόν κεκτημένη ἡ Μονή σου ἀγάλλεται καί τά δαιμόνια διώκει στρατεύματα ὑγείαν τῆς ψυχῆς παρέχον ἀφθόνως τε· διό εὐχαριστοῦμεν Σε Ἐφραίμ Μεγαλομάρτυς Χριστοῦ, ὁ πᾶσι παρέχων τά συμφέροντα.
**ΑΠΟΛΥΤΙΚΙΟ**
**Ἦχος πλ. α’ *Τόν συνάναρχον Λόγον***
Τόν Σταυρόν τοῦ Κυρίου ποθήσας Ἅγιε, ἐκρεμάσθης ἐν δένδρῳ ὥσπερ ἀμνός ἀληθής, προσευχόμενος θερμῶς ἒλαβες δύναμιν τελειωθείς μαρτυρικῶς ὑπέρ Χριστοῦ τοῦ Λυτρωτοῦ, Ἐφραίμ μοναζόντων κλέος, ἡ τῶν Μαρτύρων τερπνότης καί τῶν πιστῶν προστάτης μέγιστος.

**ΑΠΟΛΥΤΙΚΙΟ**

**Ἦχος πλ. β' *Ἀγγελικές δυνάμεις***

Τάς ἡδονάς τοῦ κόσμου παρεῖδες Ἅγιε καί τήν τρυφήν τήν μένουσα ἐπεπόθησας καί βίον τῶν Ἀγγέλων ἠκολούθησας Μάκαρ ἐν καθαρᾷ καρδίᾳ, ἐνίκησας Βελίαρ ἀγωνισθείς ἀνδρικῶς, ἐκέρδισας στεφάνους Βασιλείας τῶν Οὐρανῶν ὁ ἐν ἐσχάτοις τοῖς καιροῖς φανείς Ἐφραίμ πανένδοξε.

**ΑΠΟΛΥΤΙΚΙΟ**

**Ἦχος βαρύς *Κατέλυσας τῷ Σταυρῷ Σου***

Ὑπέμεινας τήν μανίαν τοῦ δράκοντος, τά θράση τῶν ἀσεβῶν κατετρόπωσας και τῷ πυρί τῷ ἀσβέστῳ τῆς Χάριτος τήν φλόγα τήν τῶν βασάνων κατέσβεσας, ὅτι ἐδείχθης ἀήττητος ὄντως Χριστοῦ Ἐφραίμ στρατιῶτης Μακάριε.

**ΑΠΟΛΥΤΙΚΙΟ**

**Ἦχος πλ. β' *Ἀγγελικές δυνάμεις***

Ἐκ τάφου προῆλθες ὡς εὔοσμος ἀνθός ἐγκρατείας τρισόλβιε, ἵνα παθῶν τήν δυσωδίαν ἐκβαλῶν εἰς σωτήριον ὁδόν, Ἐφραίμ ὁδηγήσης με.

**ΑΠΟΛΥΤΙΚΙΟ**

**Ἦχος πλ. α' *Χριστός Ἀνέστη***

Ἐφραίμ Ὁσίων καλλονή Μαρτύρων καύχημα καί κλέος σκέπε· φρούρει· φύλαττε πιστοῦς δεομένους Σε.

**<u>ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ</u>**

Εὐαρεστήσας τῷ Θεῷ ἀθλοφόρε καί δι' ἀσκήσεως λευκάνας Σου τόν χιτῶνα καί χάριν ἐνδυσάμενος τοῦ Ἁγίου Πνεύματος Πάτερ προθύμως εἰσεχώρησας μαρτυρίου ἀγῶνας καί ὡς Ἀγνή περιστερά ἔνθα τά σκηνῶματα κατεπαύθης Ἁγίων, ἔνθα ἀναμέλπουσι τόν Τρισάγιο Ὕμνον. Διό Ἐφραίμ θαυματουργέ, μή διαλείπης πρεσβεύων πρός Κύριον .(***δίς)***

*Δόξα : τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν.... Καί Νῦν*

Οὐ σιωπήσωμεν ποτέ Θεοτόκε, τάς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμή γάρ Σύ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δέ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, σούς γάρ δούλους σώζεις ἀεί ἐκ παντοίων δεινῶν.

**Ψαλμός Ν'. 50**

Ἐλέησον με, ὁ Θεός, κατά τό μέγα ἔλεος σου, καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τό ἀνόμημά μου. Ἐπί πλεῖον πλύνον με ἀπό τῆς ἀνομίας μου καί ἀπό τῆς ἁμαρτίας μου καθάρισον με. Ὅτι τήν ἀνομίαν μου ἐγῶ γιγνώσκω, καί ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διά παντός. Σοί μόνῳ ἥμαρτον καί τό πονηρόν ἐνώπιόν σου ἐποίησα· ὅπως ἄν δικαιωθῇς ἐν τοῖς λόγοις σου καί νικήσης ἐν τῷ κρίνεσθαί Σε. Ἰδοῦ γάρ ἐν ἀνομίαις συνελήφθην, καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοῦ γάρ ἀλήθειαν ἠγάπησας· τά ἄδηλα καί τά κρύφια τῆς σοφίας σου ἐδήλωσας μοι. Ραντιείς με ὑσσώπῳ καί καθαρισθήσομαι· πλυνεῖς με, καί ὑπέρ χιόνα λευκανθήσομαι. Ἀκουτιείς μοι ἀγαλλίασιν καί εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τό πρόσωπόν σου ἀπό τῶν ἁμαρτιῶν μου καί πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαράν κτίσον ἐν ἐμοί, ὁ Θεός, καί πνεῦμα εὐθές ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μή ἀπορρίψῃς με ἀπό τοῦ προσώπου σου καί τό πνεῦμα σου τό Ἅγιον μή ἀντανέλῃς ἀπ'ἐμοῦ. Ἀπόδος μοι τήν ἀγαλλίασιν τοῦ σωτηρίου Σου καί πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τάς ὁδοῦς Σου, καί ἀσεβείς ἐπί Σέ ἐπιστρέψουσι. Ρῦσαι με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεός τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσα μου τήν δικαιοσύνην σου. Κύριε, τά χείλη μου ἀνοίξεις, καί τό στόμα μου ἀναγγελεί τήν αἰνεσίν Σου. Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν ὁλοκαυτώματα οὔκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός οὔκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τήν Σιών, καί οἰκοδομηθήτω τά τείχη Ἰερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφοράν καί ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπί τό θυσιαστήριόν σου μόσχους.

Δόξα. καί νῦν. Ἀλληλούϊα.

**Ὠδή α'. Ἦχος πλ. δ' ὁ *εἱρμός***

Ὑγράν διοδεύσας, ὡσεί ξηράν, καί τήν Αἰγυπτίαν μοχθηρίαν διαφυγῶν, ὁ Ἰσραηλίτης ἀνεβόα· Τῷ λυτρωτῇ και Θεῷ ἡμῶν ἄσωμεν.

*Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.*

Πολλοῖς συνεχόμενος συμφοραῖς ἀσθενείαις πικραῖς καί τυραννικαῖς, πίστει προσέρχομαι τῇ σορῷ σου, ἴασαι με Ἅγιε τῇ μεσιτείᾳ σου.

Ἐδόθει Σοι χάρις παρά Θεοῦ, θεραπεύειν τάς νόσους τῶν ποικίλων ἀσθενειῶν, ἔγειρόν κείμενον χαλεπῆς, ἀσθενείας, ὅπως δοξάζω Σε, Ἅγιε Ἐφραίμ, τόν Σωτῆρα μου.

Βυθῷ ἁμαρτίας περιπεσῶν, ἐξ ἐχθρῶν ἀοράτων καί ὁρατῶν, ἴασιν παράσχου μοι τῷ σῷ ἱκέτη, μετά δακρύων βοᾷ Σοι ὁ δοῦλος σου.

*Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς*

Δέσποινα Παρθένε Μήτηρ Θεοῦ, μή παύσης πρεσβεύειν ὑπέρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, ὡς ἔνδοξος Μητέρα τοῦ Ὑψίστου, ἵνα ἐλεήσῃ με καί σῶσῃ με ἐκ τῶν πολυχρονίων μου νόσων Πανάμωμε.

**Ὠδή γ'.**

Οὐρανίας ἁψῖδος, ὀροφουργέ Κύριε καί τῆς Ἐκκλησίας δομῆτορ, Σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ Σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τό στήριγμα, μόνε Φιλάνθρωπε.

Ἀπορήσας εἰς τέλος ὀδυνηρῶς κράζω Σοι, πρόφθασον Ἐφραίμ τῶν βοώντων Σοι καί τήν Ἁγίαν Σου χεῖρα ἔκτεινον, ἔγειρόν με τῆς κλίνης καί τήν ὑγείαν παράσχου μοι τῷ δούλῳ σου Ἅγιε.

Ἁμαρτιῶν μου τῷ βάρει νυνί συνέχομαι καί τῷ πελάγει τῶν θλίψεων ὅλων ἐκτίων με, πρόφθασον θερμῇ σου ἱκεσία καί τόν πολέμιον νῦν ἐξολόθρευσον καί εἰς τέλος ἐξαφάνισον Ὅσιε, Πατήρ ἡμῶν Ἐφραίμ Ἱερώτατε καί γαλήνην παράσχου τῇ καρδίᾳ μου.

Ἰάσεων πηγή ὑπάρχεις ἀνεξάντλητος Ἐφραίμ Ἱερουργέ τῶν Ἀγγέλων Ἰσάγγελε, ὅθεν ὑμνοῦμεν Σου
τούς ἀγῶνας καί τά θεῖα μαρτύρια, ἅ ὑπέστης διά Χριστόν τόν Νυμφίον, Ὅν ἀπαύστως ἱκέτευε Ὅσιε, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

*Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς*

Χαλεπαῖς ἀρρωστείαις νῦν περιπέπτωκα Ὑπεραγία Παρθένε Σύ μοί βοήθησον τήν ἐλπίδα μου εἰς Σέ ἀνατέθηκα, ὁ ταπεινός, μή μέ παρίδης Ἀγαθή Δέσποινα, σῶσον με Ἁγνή τῷ Υἱῷ Σου, ὅπως ρυσθήσομαι τῆς κολάσεως.

Διάσωσον ἀπό κινδύνων τούς δούλους σου Θεοτόκε ὅτι πάντες μετά Θεόν εἰς Σέ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος καί προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενεία Πανύμνητε Θεοτόκε ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

*Εἶτα μνημονεύει ὁ Ἱερεύς δι' οὗς ἡ παράκλησης γίνεται καί ἡμείς ψάλλομεν :*
*Κύριε ἡμῶν Ἰησοῦ Χριστέ Υἱέ Θεοῦ ἐλέησόν με τόν ἁμαρτωλόν. (**12κις**)*

**ΚΑΘΙΣΜΑ**
**Ἦχος β'**

Ἰάσεων πηγή ὑπάρχεις ἀνεξάντλητος Ἐφραίμ Ἱερουργέ τῶν Ἀγγέλων Ἰσάγγελε, ὅθεν ὑμνοῦμεν Σου
τούς ἀγῶνας καί τά θεῖα μαρτύρια, ἅ ὑπέστης διά Χριστόν τόν Νυμφίον, Ὅν ἀπαύστως ἱκέτευε Ὅσιε, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

*Δόξα Πατρί καί νῦν*

Πρεσβεία θερμή καί τεῖχος ἀπροσμάχητον, ἐλέους πηγή, τοῦ κόσμου καταφύγιον, ἐκτενῶς βοῶμεν Σοι· Θεοτόκε Δέσποινα, πρόφθασον, καί ἐκ κινδύνων λύτρωσε ἡμᾶς, ἡ μόνη ταχέως προστατεύουσα.

***Ὠδή δ'. Ὁ εἰρμός***

Εἰσακήκοα Κύριε τῆς Οἰκονομίας σου τό μυστήριο, κατανόησα τά ἔργα σου καί δόξασα σου τήν Θεότητα.

Τῆς ψυχῆς μου τό ἂστατο Σύ Κυβερνήτης γενοῦ μοι ἀοίδιμε, Σύ κατεύνασον τόν τάραχο καί γαλήνην παράσχου τῇ καρδίᾳ μου.

Σέ ἐπικαλούμαι Ἅγιε Ἐφραίμ Ἱερωτάτε, Σύ γενοῦ μοι βοηθός τῆς ταλαιπώρουμου ψυχῆς, Σέ ἐπικαλούμαι ἐν νυκτί καί ἐν ἡμέρᾳ πρόφθασον Ἅγιε Ἐφραίμ καί σῶσον τόν δοῦλον σου τῆς παρούσης ἀνάγκης.

*Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς*

Θεοτόκε Παρθένε μή παρίδης ἡμᾶς τούς ἀθλίως κινδυνεύοντας, λύτρωσαι ἡμᾶς ἀπό πάσης ἁμαρτίας καί πάσης ἀσθενείας πικρᾶς.

***Ὠδή ἐ'***

Φῶτισον ἡμᾶς, τοῖς προστάγμασί σου Κύριε, καί τῷ βραχίονί σου τῷ ὑψηλῷ, τήν Σήν εἰρήνην παράσχου ἡμῖν Φιλάνθρωπε.

Ἐλέησον Ἅγιε τοῦ Θεοῦ. Ἐφραίμ θαυματουργέ Ἱερωτάτε καί ὁδήγησον ἡμᾶς ἐπί λιμένα θελήματος τοῦ Ὑψίστου ὅπως ψάλλομεν : Ἀλληλούϊα.

Στήριξον ἡμᾶς ἐπί πέτραν τῆς πίστεως δι’ ἥν ἤθλησας Μακάριε καί τῷ αἵματί σου τῷ Ἁγίῳ ἐστήριξας τήν Ἐκκλησίαν τοῦ Χριστοῦ καί τάς σαλευομένας καρδίας ἡμῶν Ἅγιε Ἐφραίμ.

Μή παρίδης ἡμῶν τάς δεήσεις Ἅγιε τοῦ Θεοῦ, Θεράπων, Ἱερουργέ Ἐφραίμ Ἱερώτατε, γνήσιε φίλε τοῦ Χριστοῦ. Σοῦ δεόμεθα καί Σέ παρακαλοῦμε μή παύσης πρεσβεύων ὑπέρ τῶν ψυχῶν ἡμῶν.

*Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς*

Χαῖρε Θεοτόκε Δέσποινα ἡ Πάντων Χαρά, ἡ ἐλπίς ἡ ἀκαταίσχυντος, Χαῖρε Μαρία Ἄχραντε τῶν ἐπικαλουμένων ἡ βοήθεια, Χαῖρε τῶν ψυχῶν ἡμῶν ἡ Θεία παράκλησις.

***Ὠδή στ’***

Τήν δέησιν ἐκχεῶ πρός Κύριον, καί αὐτῷ ἀπαγγελῶ μου τάς θλίψεις, ὅτι κακῶν ἡ ψυχή μου ἐπλήσθη, καί ἡ ζωή μου τῷ ᾅδη προσήγγισε· καί δέομαι ὡς Ἰωνάς. ἐκ φθοράς ὁ Θεός μέ ἀνάγαγε.

Τήν δέησή μου δέξαι τήν πενιχράν καί τά δάκρυά μου Ἅγιε μή παραβλέψης, ὅτι ἡ ἀσθένεια τῆς ψυχῆς καί τοῦ σώματος ἕως ᾅδου κατεβίβασαν τήν ζωήν μου, ἀλλ’ ὡς συμπαθής τε ἰατρός καί ἐλεήμων, ἴασιν παράσχου τῷ ἱκέτῃ Σου.

Παρρησίαν μεγίστην πρός τόν Δεσπότην πλουτείς Ἱερώτατε αἴτησαι εἰρήνην τῷ κόσμῳ καί τήν ὑγείαν παράσχου τοῖς δούλοις σου Ἅγιε, ἔγειρόν με τῆς κλίνης ἵνα Σέ κατά χρέος ὑμνῶ τόν Σωτήρα μου.

*Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς*

Διάσωσον ἀπό παντοίων νόσων τούς δούλους σου Ἅγιε Ἐφραίμ Ἱερωτάτε, ὅτι πολλήν τήν παρρησίαν πλουτείς, διό μή παρίδης ἡμᾶς κινδύνων Ἱερωτάτε.

Ἐπίβλεψον ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

*Ὁ Ἱερεύς μνημονεύει ὡς δεδήλωται, μετά τήν ἐκφώνησιν*

**ΚΟΝΤΑΚΙΟΝ**

**Ἦχος β’**

Προστάτης θερμός τῶν ἐπικαλουμένων σε, ὑπάρχεις Ἐφραίμ Ὁσίων ἐγκαλλώπισμα, μή παρίδης τάς δεήσεις τῶν δούλων σου, ἀλλά πρόφθασον ὡς συμπαθής είς τήν βοήθεια ἡμῶν τῶν ἐν χαλεπαίς ἀσθενείαις κατακειμένων, ἵνα πόθῳ βοῶμεν ὁ Θεός ἡμῶν δόξα Σοι.

*Εἶτα τό Α’ Ἀντίφωνον τῶν ἀναβαθμῶν* τοῦ *Ἤχου δ’*

Ἐκ νεότητός μου πολλά πολεμεῖ με πάθη, ἀλλ’ αὐτός ἀντιλαβοῦ καί σῶσον Σωτήρ μου .(***δίς***).

Οἱ μισοῦντες Σιών, αἰσχυνθῆτε ἀπό τοῦ Κυρίου· ὡς χόρτος γάρ πυρί, ἔσεσθε ἀπεξηραμμένοι. (***δίς***).

*Δόξα Πατρί*

Ἁγίῳ Πνεύματι, πάσα ψυχή ζωούται, καί καθάρσει ὑψούται λαμπρύνεται, τῇ Τριαδικῇ Μονάδι, Ἱεροκρυφίως.

*Καί νῦν*

Ἁγίῳ Πνεύματι ἀναβλύζει, τά τῆς χάριτος ρείθρα, ἀρδεύοντα, ἅπασαν τήν κτίσιν, πρός ζωογονίαν.

*Καί εὐθύς τό προκείμενον*

Ὑπομένων ὑπέμεινα τόν Κύριον καί πρόσεσχε μοι. (***δίς***).

**Στιχ. ε’**

Καί ἔστησεν ἐπί πέτραν τούς πόδας μου καί κατεύθυνε τά διαβήματά μου.

***ΕΥΑΓΓΕΛΙΟΝ***

Ἐκ τοῦ κατά Ματθαῖον

Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησούς τούς δώδεκα μαθητάς αὐτοῦ ἔδωκεν αὐτοῖς ἐξουσίαν κατά πνευμάτων ἀκαθάρτων ὥστε αὐτά ἐκβάλλειν καί θεραπεύειν πάσαν νόσον καί πάσαν μαλακίαν.
Τούτους ἀπέστειλεν ὁ Ἰησούς παραγγείλας αὐτοῖς λέγων. εἰς οδόν ἐθνῶν μή ἀπέλθητε καί εἰς πόλιν Σαμαρειτῶν μή εἰσέλθητε, πορεύεσθε δέ μάλλον πρός τά πρόβατα τά ἀπολωλότα οἴκου Ἰσραήλ. Πορευόμενοι δέ κηρύσσετε λέγοντες ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. Ἀσθενούντας θεραπεύετε, λεπρούς καθαρίζετε, νεκρούς ἐγείρετε, δαιμόνια ἐκβάλλετε, δωρεάν ἐλάβετε, δωρεᾷ δότε.

*Δόξα Πατρί*

Ταῖς τοῦ Σοῦ Ὁσίου πρεσβείαις ἐλεήμων ἐξάλειφον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

*Καί νῦν*

Ταῖς τῆς Θεοτόκου πρεσβείαις ἐλεήμων ἐξάλειφον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.
Ἐλεήμων ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός σου καί κατά τό πλήθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τό ἀνόμημά μου.

Μή ἀποστερήσης με τόν πλανηθέντα ἀπάτη τοῦ δολίου δράκοντος τοῦ ποτέ ἐξῶσαντος τούς προπάτορας, θλίψεις μέε ἐκύκλωσαν καί χαλεπαῖς ἀσθένιαι καί οὐκ ἔχω πλήν Σοῦ ἄλλην καταφυγήν καί βοήθειαν καί παραμυθίαν ὁ ἄθλιος πρός Σέ καταφεύγω τόν μέγα τῆς ψυχῆς μου Ἰατρόν, Ἐφραίμ Ὁσίων τό καύχημα, μή ἐγκαταλείπης με.

Οὐδείς προστρέχων ἐπί Σέ κατησχυμμένος ἀπό Σοῦ ἐκπορεύεται ἐάν μή λάβη τήν θεραπείαν, διά τοῦτο ἐν πίστει θερμῇ βοά ὁ δοῦλος Σου ἐλέησόν με.

Μετανοῶ καί βοῶ ἐκ βάθους μου τῆς καρδίας ἥμαρτον, ἐλέησόν με Ἅγιέ μου Ἐφραίμ τόν ἀνάξιον ἱκέτην σου, καί παράσχου μοι τήν ἴασιν τῆς ψυχῆς καί τοῦ σώματος.

*Ὁ Ἱερεύς*

Σῶσον ὁ Θεός τόν λαόν σου καί εὐλόγησον τήν κληρονομίαν σου, ἐπίσκεψαι τόν κόσμον σου ἐν ἐλέει καί οἰκτιρμοίς ὕψωσον κέρας χριστιανῶν Ὀρθοδόξων καί κατάπεμψον ἡμῖν πλούσια τά ἐλέη σου, πρεσβείαις τῆς Παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καί Ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ Τιμίου καί Ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν Τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων, Ἱκεσίαις τοῦ Τιμίου ἐνδόξου Προφήτου Προδρόμου καί Βαπτιστοῦ Ἰωάννου, τῶν Ἁγίων ἐνδόξων καί πανευφήμων Ἀποστόλων τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν μεγάλων Ἱεραρχῶν καί Οἰκομενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καί Ἰωάννου τοῦ Χρυσοστόμου, τοῦ ἐν Ἁγίοις πατρός ἡμῶν Νικολάου Ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας τοῦ Θαυματουργοῦ. Τῶν Ἁγίων ἐνδόξων καί Καλλινίκων Μαρτύρων, τῶν Ὁσίων καί Θεοφόρων Πατέρων ἡμῶν, τῆς Αγίας ἐνδόξου καί Αθληφόρου Ὁσιοπαρθενομάρτυρος Παρασκευῆς, τοῦ Ἁγίου Μεγαλομάρτυρος Ἐφραίμ τοῦ Θαυματουργοῦ, τῶν Ἁγίων Μεγαλομαρτύρων Δημητρίου τοῦ Μυροβλήτου καί Γεωργίου τοῦ Τροπαιοφόρου, τοῦ Ἁγίου Ιωάννου τοῦ Ρώσου τοῦ νέου Ὁμολογητοῦ, τῶν Ἁγίων καί Δικαίων Θεοπατόρων Ἰωακείμ καί Ἄννης, τοῦ Ἁγίου (τῆς ἡμέρας) καί πάντων τῶν Ἁγίων.

Ἱκετεύομεν Σε, μόνε Πολυέλεε Κύριε· ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων Σου καί ἐλέησον ἡμᾶς.

Κύριε ἡμῶν Ἰησοῦ Χριστέ Υἱέ Θεοῦ ἐλέησόν μας τούς ἁμαρτωλούς. (***12κις***)

***Ὠδή ζ’***

Οἱ ἐκ Ἰουδαίας καταντήσαντες Παῖδες ἐν Βαβυλῶνι ποτέ, τῇ πίστει τῆς Τριάδος, τήν φλόγα τῆς καμίνου, κατεπάτησαν ψάλλοντες. ὁ τῶν πατέρων ἡμῶν Θεός, εὐλογητός εἶ.

Σύ περιπολεύων ἐν παρρησία, πολλῇ, παρά τῷ θρόνῳ τῆς Ἁγίας Τριάδος, μέμνησο ὑπέρ εἰρήνης τοῦ κόσμου καί σωτηρίας ἡμῶν τῶν ἁμαρτωλῶν καί τήν Ὀρθόδοξον ἡμῶν πίστιν κράττεινον, ὅπως ψάλλομεν ἀπαύστως ὁ Θεός ἡμῶν Δόξα Σοι.

Οἱ ἐκ τῶν ποικίλων, ἁμαρτιῶν καταντήσαντες πτῶμα ἐλεεινόν καί πανάθλιον καί οὐκ ἰσχύομεν ἀτένισαι πρός Σέ, Ἅγιε τοῦ Θεοῦ Ἐφραίμ Μακάριε. Αλλ' ἐξανάστησον ἡμᾶς ἐκ τῆς ἀρρωστίας ημῶν, όπως ψάλλομεν. ὁ Θεός ἡμῶν Δόξα Σοι.

Οἱ ἀνάξιοι δούλοι σου, Ἅγιε Ἐφραίμ Σοῦ δεόμεθα, μή ἀπορρίψης τάς δεήσεις ἡμῶν τῶν ἐν νυκτί καί ἐν ἡμέρᾳ βοώντων πρός Σέ. Ἀλλ' εἰσάκουσον ἡμῶν φόβῳ καί πόθῳ ἐν κατανύξει βοώντων. Τήν Ὀρθόδοξον ἡμῶν πίστιν κραταίωσον, ἣν καί ἤθλησας μέχρις αἵματος Ἅγιε.

*Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς*

Κεχαριτωμένη Κυρία Θεοτόκε, ἡ χαρά τῶν Ἀγγέλων καί τῶν Ἁγίων πάντων ἡ τρυφή καί ἡμῶν τῶν ἁμαρτωλῶν τό προσφύγιον καί ἡ ἐλπίς, Σοῦ δεόμεθα Ὑπεραγία μου Πανάμωμε μετά τοῦ Ὁσίου μου Πατρός Ἐφραίμ τοῦ Ἱερομάρτυρος, πρεσβεύσατε ὑπέρ εἰρήνης τοῦ κόσμου καί ἐκκλησίας τήν ὁμόνοιαν.

### *Ὠδή η'*

Τόν Βασιλέα τῶν οὐρανῶν ὃν ὑμνοῦσι, στρατιαί τῶν Ἀγγέλων ὑμνείτε καί ὑπερυψοῦτε εἰς πάντας τούς αἰῶνας.

Τόν ἀριστέα τῆς πίστεως ἐν ᾠδαῖς καί ὕμνοις μεγαλύνομεν πιστοί, ὃτι κατήργησε τάς ἐπινοίας τῶν παρανόμων. Διό ψάλλομεν, εὐλογητός ὁ Θεός ὁ τῶν Πατέρων ἡμῶν.

Τόν ἐν οὐρανίοις σκηνώμασι μετ' Ἀγγέλων αὐλιζόμενος, ἐν ᾠδαῖς καί ὕμνοις, μεγαλύνομεν Ἐφραίμ. Τόν γενναίον τοῦ Χριστοῦ ὁπλίτην καί ἀθλητήν, τόν ἀπαύστως πρεσβεύοντα, τοῦ σωθήναι τάς ψυχάς ἡμῶν.

Συνάχθητε πάντων τῶν μαρτύρων καί ἀσκητῶν ὁ σύλλογος, μετά τοῦ Ἱερομάρτυρος Ἐφραίμ τοῦ Θεόφρονος. Καί ὡς παριστάμενοι τῇ Ἁγία Τριάδι, ἀπαύστως πρεσβεύσατε ὑπέρ ειρήνης τοῦ κόσμου καί ἐκκλησίας τήν κραταίωσιν.

*Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς*

Τήν Βασίλισσαν τῶν οὐρανῶν ἀνυμνοῦσιν, οἱ χοροί τῶν Ἀγγέλων ἀπαύστως, μετά τῶν Ὁσίων, τά τάγματα δοξάζουσι, ὧν σύν αὐτοῖς, Ὑπεραγία Θεοτόκε μου, ἱκέτευε μετά Ἐφραίμ τοῦ Ἱερομάρτυρος, τήν Ὀρθόδοξον πίστιν κρατύνεσθαι καί σῶσον τάς ψυχάς ἡμῶν.

### *Ὠδή θ'. Ὁ εἱρμός*

Κυρίως Θεοτόκον, Σέ ομολογοῦμεν οἱ διά Σοῦ σεσωσμένοι Παρθένε Ἁγνή, σύν ἀσωμάτοις χορείαις Σέ μεγαλύνομεν.

Θεόφρον Θεοφόρε, Σέ ἀνυμνολογοῦμεν οἱ διά Σοῦ σεσωσμένοι ἐκ τῶν ποικίλων ἀσθενειῶν, ὃθεν Σέ πόθῳ, Ἐφραίμ μακαρίζομεν.

Αἰνοῦμεν, εὐλογοῦμεν, τόν Κύριον τῆς δόξης, τόν δοξάσαντα Πάτερ Ἐφραίμ τήν μνήμην σου, σύ γάρ ὑπάρχεις μαρτύρων ἡ δόξα καί τῶν μοναστῶν τό ἐγκαλλώπισμα.

Καί γόνυ κλίνω, Πάτερ Ἐφραίμ, βοήθησόν με, μετά δακρύων βοά σοι ὁ δοῦλος σου. Δέξου μικράν ὑμνωδίαν καί σῶσον με Ἅγιε.

*Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς*

Δεσπότην τετοκυῖα, τόν Κύριον τῆς δόξης, Σέ ἀνυμνοῦμεν Ὑπέραγνε Δέσποινα, τῶν Ὀρθοδόξων ὑπάρχεις Μητέρα καί καύχημα.

Ἄξιον ἐστίν ὡς ἀληθῶς, μακαρίζειν Σε τήν Θεοτόκον, τήν Ἀειμακάριστον καί Παναμώμητον, καί Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν Τιμιωτέραν τῶν Χερουβείμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὂντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις τῆς Μονής μας θείος φρουρός καί τῶν Μοναζόντων στυλοβάτης ὁ φαεινός.
Χαίροις τῶν λειψάνων ἡ θεία μυροθήκη, δι' ὧν καί τάς ἰάσεις Ἐφραίμ λαμβάνομεν.
Χαίροις ἀσθενούντων ὁ Ἰατρός.
Χαίροις τῶν θαυμάτων ὁ ἀείρροος ποταμός.
Χαίροις τῆς ψυχῆς μου τό καύχημα τό μέγα, Ἐφραίμ Θαυματοφόρε, σκέπε τήν ποίμνην σου.

Ἐφραίμ τῶν Ἀγγέλων ἡ χαρμονή, πάντων τῶν Ἁγίων, ἡ χαρά καί ἡ καλλονή, ἱκετεύομεν Σε, περίζωσε μονήν σου, εἰς ἣν ἤσκησας πόθῳ καί σεπτοῦ μαρτυρίου τετύχηκας.

Ὑψώθης εἰς δένδρον ὡς εἰς σταυρόν, μιμούμενος τόν Θεόν σου, τόν Δεσπότην καί Λυτρωτήν, δι' οὗ ὑπέστης Μάκαρ, κατάφλεξιν γαστρός σου, συντρίβων τήν γαστέρα τοῦ ἀρχαίκακου ἐχθροῦ.

Τόν Ἱερομάρτυρα τοῦ Χριστοῦ, ἀσκητῶν τό κλέος καί μαρτύρων τήν καλλονήν, ἱκετεύομέν Σε Ἐφραίμ Θαυματοφόρε, ἐλέησόν με τάχος ταῖς ἱκεσίαις Σου.

Εἰκόναν Σου θείαν πανευλαβῶς, ἀσπαζόμεθα πόθῳ, οἱ ἐν κινδύνοις καί πειρασμοῖς, ἣν ἓσωσας Μάκαρ ὀλέθρου πυρός παμφάγου, δεικνύων ἂλλο θαύμα Ἐφραίμ τοῖς θαύμασι.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἃγιοι Πάντες, μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τό σωθήναι ἡμᾶς.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρεσον τάς ἀνομίας ἡμῖν. Ἃγιε, ἐπίσκεψαι καί ἲασαι τάς ἀσθενείας ἡμῶν, ἓνεκεν τοῦ Ὀνόματός Σου.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τό Ὂνομά σου, ἐλθέτω ἡ Βασιλεία σου, γεννηθήτω τό Θέλημά σου ὡς ἐν οὐρανῷ καί ἐπί τῆς γῆς, τόν ἂρτον ἡμῶν τόν ἐπιοῦσιον Δός ἡμῖν σήμερον καί Ἂφες ἡμῖν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καί μή εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν, ἀλλά ρύσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.

Ὅτι Σοῦ ἐστίν ἡ Βασιλεία καί ἡ Δύναμις καί ἡ Δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοί τήν ἱκεσίαν ὡς Δεσπότη οἱ ἁμαρτωλοί προσφέρομεν. ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί*

Κύριε ἐλέησον ἡμᾶς ἐπί Σοί γάρ πεποίθαμεν, μή ὀργισθής ἡμῖν σφόδρα μηδέ μνησθής τῶν ἀνομιῶν ἡμῶν, ἀλλ' ἐπίβλεψον καί νῦν ὡς εὐσπλαγχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ ὁ Θεός καί ἡμείς λαός σου, πάντες ἒργα χειρῶν σου καί τό Ὂνομά σου ἐπικεκλήμεθα.

*Καί νῦν*

Τῆς εὐσπλαγχνίας τήν Πύλην ἂνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε εἰς Σέ γάρ ἐλπίζοντες εἰς Σέ βοῶμεν. Χαίρε Κεχαριτωμένη ὁ Κύριος μετά Σοῦ .

**Ἦχος β' Ὅτε ἐκ τοῦ ξύλου**

Χαίροις τῶν νοσούντων Ἰατρός, χαίροις βακτηρία καί τείχος τῶν ἐν ἀνάγκαις πικραῖς, ἀσθενείαις καί θλίψεσι καί στενοχώριαις, Πάτερ Σοί καταφεύγοντας ἐκ κατωδύνου ψυχῆς, μή μέ ἀπορρίψεις εἰς τέλος, ὅτι Σύ μοῦ πέλης προστάτης, Ὅσιε Ἐφραίμ καθικετεύω Σε.

Σῶσον τούς ἐλπίζοντας εἰς Σέ, Ὅσιε Ἐφραίμ τούς Σοῦς δούλους, χαρά καί σκέπη ἡμῶν, μή παρίδης δεόμεθα τῶν πίστει καί πόθῳ. Πάτερ, καταφεύγοντας τῇ εὐσπλαχνία Σου, ρῦσαι συμφορῶν ἐναντίων, πάντας τούς προστρέχοντας τῇ σωρῷ Σου, καί ἀσπαζομένους Σου τά λείψανα.

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τῶν δούλων σου καί λύτρωσαι ἡμᾶς, ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Τήν πάσαν ἐλπίδαν μου εἰς Σέ ἀνατίθημι, Μήτερ τοῦ Θεοῦ φύλαξον ἡμᾶς, ὑπό τήν Σκέπην Σου.

Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.